Οἱ μὲν γὰρ οὖν τέττιγες, ἕνα μῆν' ἢ δύο
Ἐπὶ τῶν κραδῶν ᾄδουσιν, Ἀθηναῖοι δ' ἀεὶ
Ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον.
Διὰ ταῦτα τόνδε τὸν βάδον βαδίζομεν.
Κανοῦν δ' ἔχοντε καὶ χύτραν, καὶ μυῤῥίνας,
Πλανώμεθα, ζητοῦντε τόπον ἀπράγμονα,
Ὅποι καθιδρυθέντε διαγενοίμεθ' ἄν.
Ὁ δὲ στόλος νῷν ἐστι παρὰ τὸν Τηρέα
Τὸν Ἔποπα παρ' ἐκείνου πυθέσθαι δεομένω.
Εἴπου τοιαύτην οἶδε πόλιν ἢ 'πέπτατο.
Πει. Οὗτος. Εὐ. τί ἐστιν. Πει. ἡ κορώνη μοι πάλαι
Ἄνω τι φράζει. Εὐ. χ' ὡ κολοιὸς οὑτοσὶ
Ἄνω κέχηνεν ὡσπερεὶ δεικνύς τί μοι.
Κοὐκ ἔσθ' ὅπως οὐκ ἔστιν ἐνταῦθ' ὄρνεα.
Εἰσόμεθα δ' αὐτίκ' ἂν ποιήσωμεν ψόφον.
Ἀλλ' οἶσθ' ὃ δρᾶσον, τῷ σκέλει θένε τὴν πέτραν.
Πει. Σὺ δὲ τῇ κεφαλῇ γ' ἵν' ᾖ διπλάσιος ψόφος.
Εὐ. Σὺ δ' οὖν λίθῳ κόψον λαβών. Πει. πάνυ γ' εἰ δοκεῖ.
Εὐ. Παῖ. παῖ. Πει. τί λέγεις, οὗτος τὸν Ἔποπα παῖ καλεῖς;
Οὐκ ἀντὶ τοῦ παιδός γ' ἐχρῆν ἐποποῖ καλεῖν;
Εὐ. Ἐποποῖ. ποιήσεις τί με κόπτειν αὖθις αὖ.

A *Hæ quidem enim igitur cicadæ vnum mensem vel duos*
*In vicis canunt. Athenæi autem semper*
*In iudiciis canunt omnem vitam,*
*Propter hæc hoc iter imus.*
*Canistrum autem habẽtes & ollam & myrtos,*
B *Erramus, quærentes locum ociosum,*
*Vbi firmantes perseueremus.*
*Hic autem exercitus nobis est ad Tereum.*
*Epopa ab illo audire indigentes,*
*Sicubi talem scit ciuitatem vbi volatur.*
PI. *Hic.* EV. *quid est?* PI. *Cornix mihi diu*
*Superius quid dicit.* EV. *& graculus hic*
*Superius, oscitat tanquam ostendens aliquid mihi.*
C *Et non est quomodo non sint hic aues.*
*Sciemus autem statim si faciemus strepitum.*
*Sed scis faciens? crure verbera petram.*
PI. *Tu autem capite, vt sit duplex strepitus.*
EV. *Tu autem lapide verbera capiens.* PI. *valde si videtur.*
EV. *Puer puer.* PI. *quid dicis? hic epopa puer vocas?*
*Non pro filio oportebat ad Epopem vocare.*
D EV. *Epopi.* SER. *Facies quid me verberare rursus iterum.*

Σχόλια. Οἱ μὲν γὰρ οὖν τέττιγες] παρὰ τοῦτο καὶ ὁ Φιλήμων. ἡ μὲν χελιδών, αὐτὸ θέρος ὦ γύναι λαλεῖ. τὸ δὲ ἐπὶ τῶν κραδῶν, ὅτι ἀπὸ ἑνὸς τὰ ἄλλα πάντα δένδρα ἐμφαίνει. κράδη δὲ ἡ συκῆ.

BISETVS. Κράδη κατ' Εὐστάθιον, τὸ τῆς συκῆς φύλλον. συνεκδοχικῶς δὲ καὶ αὐτὴν τὴν συκῆν δηλῶσαι δύναται.

Σχόλια. Τόνδε τὸν βάδον.] ἐν παιδιᾷ παρεσχημάτισται. ὡς ἀπὸ τοῦ πατεῖν πάτος. οὕτως ἀπὸ τοῦ βαδίζειν βάδος. Ὅμηρος. πάτον ἀνθρώπων ἀλεείνων. ἄλλως. εἴρηται μὲν ὁ βάδος ὅμως γε μὴν οἱ κωμικοί, παίζειν εἰώθασι τὰ τοιαῦτα. ὡς Εὔπολις, χρυσοῦ γένει. τί σφῶν ὦ ῥαψῳδέ. Κανοῦν δ' ἔχοντε] τὰ πρὸς θυσίαν κομίζουσιν, ἵνα οἰκήσαντες ἐν τῇ ἱδρύσει θύσωσιν. ὅτι δὲ χύτραις ἵδρυον, καὶ ἐν εἰρήνῃ. Δίδυμος δέ φησιν ἀμυντήρια τῶν ὀρνέων αὐτὰ βαστάζειν. ἀντὶ ὅπλου μὲν τὸ κανοῦν. περικεφαλαίας δὲ τὴν χύτραν. ἵνα μὴ ἐφιπτάμενα τὰ ὄρνεα τύπτῃ αὐτούς. τὰς δὲ μυῤῥίνας πρὸς τὸ ἀποσοβεῖν. Ὅπου καθιδρυθέντε.] τοῦτο πρὸς τὰ ἔμπροσθεν, ἀνεπτόμεθα δ' ἐκ τῆς πατρίδος ἀμφοῖν ποδοῖν. εἶτα ἐφεξῆς κανοῦν δ' ἔχοντε. καὶ τὰ ἑξῆς. τὰ δὲ ἄλλα, μεταξὺ εἴρηται. Ἄνω τι φράζει.] ὡς ἄνω αὐτῆς νευούσης ἐπί τινα τόπον ὑψηλόν. Τῷ σκέλει θένε τὴν πέτραν.] πρὸς τὴν τῶν παίδων συνήθειαν τοῦτο λέγει. φασὶ γὰρ ἐκεῖνοι πρὸς ἀλλήλους ἰδόντες ὄρνεα. δὸς τὸ σκέλος τῇ πέτρᾳ καὶ πεσοῦνται τὰ ὄρνεα. τὸ δὲ ἀλλ' οἶσθ' ὃ δρᾶσον ἀττικὴ φράσις. πρὸς δὲ τὸ εἰρημένον παίζων αὖθις εἶπε σὺ δὲ τῇ κεφαλῇ. Τὸν Ἔποπα παῖ καλεῖς.] οὐ πιθανόν φησιν ἐπὶ ὀρνέου οἰκίαν ἐλθόντα παῖ παῖ καλεῖν. οὐ γάρ εἰσιν ἄνθρωποι, ὥστε καὶ παῖδας ἔχειν. Ἐποποῖ.] Σύμμαχος καὶ Δίδυμος προπαροξύνουσιν. οἱ δέ, περισπῶσιν. ἵν' ᾖ ἐπίῤῥημα. ἀντὶ τοῦ ἐποπίσι. εἰ δὲ προπαροξύνοιτο, δῆλοι ὅτι ἐσχημάτισται ἀπὸ εὐθείας τῆς ἔποπος.

F

## ΤΡΟΧΙΛΟΣ ΘΕΡΑΠΩΝ, ΕΠΟΠΟΣ, ΕΥΕΛΠΙΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

Εὐ. Ἐποποῖ. Θε. τίνες οὗτοι. τίς ὁ βοῶν τὸν δεσπότην;
Εὐ. Ἄπολλον ἀποτρόπαιε, τοῦ χασμήματος.
Θε. Οἴμοι τάλας ὀρνιθοθήρα τουτωΐ.
Εὐ. Οὕτω 'στι δεινόν, οὐδὲ κάλλιον λέγειν.
Θε. Ἀπολεῖσθον. Εὐ. ἀλλ' οὐκ ἐσμὲν ἀνθρώπω. G
Θε. τί δαί;

## TROCHILVS SERVVS, EPOPVS, EVELPIS, PISTHETERVS.

EV *Epopi.* SER. *qui hi? quis clamans dominum?*
EV. *Apollo euersor malorum oscitatione.*
SER. *Heu mihi misero aucupes hi.*
EV. *Sic est graue, neque melius dicere.*
SER. *Pereatis.* EV. *sed non sumus homines.*
SER. *quid autem?*

Σχόλια. Τίνες οὗτοι.] Τροχίλος τὶς τῶν ὀρνέων ἀκούει οἰκέτης τοῦ Ἔποπος. Τοῦ χασμήματος.] ἐπεὶ πρόσωπον ὀρνέου ἐποίησεν ὁ σκευοποιὸς, ἔχοντος τὸ ῥάμφος κεχηνὸς, διὰ τοῦτο εἶπεν χασμήματος. Ὀρνιθοθήρα] νομίζει τοὺς ἄνδρας διὰ τὸ θηρᾶσαι τὰ ὄρνεα ἐληλυθέναι. Οὕτω 'στι δεινόν.] τὸ κάλλιον. ἀντὶ τοῦ ἀπολύτου κεῖται. ἀντὶ τοῦ οὐδὲ καλὸν λέγειν, τὸ ἡμᾶς ὑποπτεύεσθαι τοιούτους